**CG**

**6,8 Ἑξήκοντά εἰσιν βασίλισσαι καὶ ὀγδοήκοντα παλλακαί**
**καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός.**
**9 Μία ἐστὶν περιστερά μου, τελεία μου,**

110. Ἑξήκοντα βασιλίσσας τάχα τοὺς ἐν τῷ Ἰουδαϊσμῷ λέγει· « βασίλειον γὰρ ἦσαν ἱεράτευμα καὶ ἔθνος ἅγιόν[a] » ποτε· ὀγδοήκοντα δὲ παλλακὰς τὰς διὰ μὲν τὸ τῆς ἀναστάσεως μυστήριον τῇ ὀγδόῃ δεκάδι ἀριθμουμένας, διὰ δὲ τὸ μὴ γνησίαν τὴν πρὸς αὐτὸν ἔχειν συζυγίαν, τῷ τῶν παλλακίδων ὀνόματι σημαινομένας αἱρέσεις. Νεάνιδας δέ, ἃς οὔτε ἀριθμοῦ ἠξίωσεν, τὰ ἔθνη τὰ ἀπηλλοτριωμένα τοῦ θεοῦ καὶ ξένα τῶν διαθηκῶν τοῦ πατρός· οὐ γὰρ διὰ πλῆθος αὐτὰς ὁ τὸ πλῆθος τῶν ἄστρων ἀριθμῶν[b] οὐκ ἠρίθμησεν, ἀλλὰ διὰ τὸ ἀναξιόπιστον καὶ μὴ ἄξιον ἀριθμοῦ. Ταῦτα γὰρ ἀριθμεῖν ἀξιοῖ ὅσα τὴν τάξιν ἐλλόγιμον ἔχει καὶ ἀξιόπιστον.

111. Μίαν δὲ περιστερὰν λέγει τὴν ἐκκλησίαν,

**G**

**6,11d ἐκεῖ δώσω τοὺς μαστούς μου σοί.**
**12 Οὐκ ἔγνω ἡ ψυχή μου· ἔθετό με ἅρματα Ἀμιναδάβ.**

114. Εἶτά φησιν· ἐκεῖ δώσω τοὺς μαστούς μου σοὶ τῷ νυμφίῳ, τοὺς ἔτι τὸ τῆς νηπιότητος ἔχοντας γάλα, ἵνα βελτιωθῶσιν ἀπὸ οἴνου τῆς σῆς διδασκαλίας. Καὶ ἐπειδὴ τοῦτο γέγονεν, καὶ οὓς προσήνεγκεν ἐβελτιώθησαν ὀξέως, καὶ λόγου παντὸς εὐκολώτερον, τὸ τάχος δεῖξαι θέλουσα τῆς μεταβολῆς· οὐκ ἔγνω, φησίν, ἡ ψυχή μου, πῶς ἐγενόμην ἅρματα Ἀμιναδάβ, τοῦ ἑρμηνευομένου ἄρχων λαοῦ μου. Λεληθότως γὰρ ἡ μὲν νηπιώδης ὑπέρρευσε παρελθοῦσα κατάστασις, ὄχημα δὲ γέγονα τοῦ ἄρχοντος τοῦ λαοῦ μου, ὅς ἐστι Χριστός, ἁμαξήλατον λοιπὸν τρέχουσα καὶ ἱππήλατον τὴν τῆς εὐσεβείας ὁδόν, ταῖς ἁρματοτροχίαις ἐνσημαινομένη τῆς ἀγαθῆς πολιτείας τὰ σύμβολα καὶ ἴχνη καταλιμπάνουσα τοῖς ὁδεύουσι τὸν βίον πρεπούσης θεοσεβεῖν ἐθέλουσι ζωῆς.

**Procope**

285. Ἑξήκοντα βασιλίσσας τάχα τοὺς ἐν τῷ Ἰουδαϊσμῷ λέγει· « βασίλειον γὰρ ἦσαν **ποτε ἱεράτευμα καὶ ἔθνος ἅγιόν**[a] »· ὀγδοήκοντα δὲ παλλακὰς τὰς διὰ μὲν τὸ τῆς ἀναστάσεως μυστήριον τῇ ὀγδόῃ δεκάδι ἀριθμουμένας, διὰ δὲ τὸ μὴ γνησίαν τὴν πρὸς αὐτὸν ἔχειν συζυγίαν, τῷ τῶν παλλακίδων **νοήματι** σημαινομένας αἱρέσεις. Νεάνιδας δέ, ἃς οὔτε ἀριθμοῦ ἠξίωσεν, τὰ ἔθνη τὰ ἀπηλλοτριωμένα τοῦ θεοῦ καὶ ξένα τῶν διαθηκῶν τοῦ **πν(εύματο)ς**· οὐ γὰρ διὰ πλῆθος αὐτὰς ὁ τὸ πλῆθος τῶν ἄστρων ἀριθμῶν[b] οὐκ ἠρίθμησεν, ἀλλὰ διὰ τὸ **ἀνάξιον** ἀριθμοῦ. Ταῦτα γὰρ **ἀξιοῖ ἀριθμεῖν** ὅσα τὴν τάξιν ἐλλόγιμον ἔχει καὶ ἀξιόπιστον.

Μίαν δὲ περιστερὰν λέγει τὴν ἐκκλησίαν,

297. Εἶτά φησιν· ἐκεῖ δώσω τοὺς μαστούς μου σοὶ ~~τῷ νυμφίῳ~~, τοὺς ἔτι τὸ τῆς νηπιότητος ἔχοντας γάλα, ἵνα βελτιωθῶσιν ἀπὸ οἴνου τῆς σῆς διδασκαλίας. Καὶ ἐπει~~δὴ τοῦτο γέγονεν, καὶ οὓς προσήνεγκεν~~ ἐβελτιώθη~~σαν~~ ὀξέως, ~~καὶ λόγου παντὸς εὐκολώτερον~~, τὸ τάχος δεῖξαι θέλουσα τῆς μεταβολῆς· οὐκ ἔγνω, φησίν, ἡ ψυχή μου, πῶς ἐγενόμην ἅρματα Ἀμιναδάβ, τοῦ ἑρμηνευομένου ἄρχων λαοῦ μου. Λεληθότως γὰρ ἡ μὲν νηπιώδης ὑπέρρευσε παρελθοῦσα κατάστασις, ὄχημα δὲ γέγονα τοῦ ἄρχοντος τοῦ λαοῦ μου, ὅς ἐστι Χριστός, ἁμαξήλατον λοιπὸν τρέχουσα καὶ ἱππήλατον τὴν τῆς εὐσεβείας ὁδόν, ταῖς ἁρματοτροχίαις ἐνσημαινομένη τῆς ἀγαθῆς πολιτείας τὰ σύμβολα καὶ ἴχνη καταλιμπάνουσα τοῖς ὁδεύουσι τὸν βίον πρεπούσης θεοσεβεῖν **ἐθέλουσα** ζωῆς.

**6,8 Il y a soixante reines et quatre-vingts concubines,**
**et des jeunes filles sans nombre.**
**9 Unique est ma colombe, ma parfaite,**

110. Les soixante reines : sans doute parle-t-il de ceux qui sont dans le judaïsme, car alors « le sacerdoce était royal et le peuple saint[a]. » (1P 2, 9 ; Ex 19, 6) Les quatre-vingts concubines : il s'agit de celles qui sont comptées dans la huitième décade à cause du mystère de la résurrection et pourtant sont désignées comme hérésies par le nom de concubines, puisqu'elles n'ont pas d'union légitime avec lui. Quant aux jeunes filles qu'il n'a pas jugées dignes d'être comptées, ce sont les nations, détachées de Dieu et étrangères aux alliances du Père. Car ce n'est pas à cause de leur multitude que celui qui compte la multitude des astres[b] (Ps 146,4) ne les a pas comptées, mais parce qu'elle est incroyable et innombrable. Car il juge convenable de compter les choses, pour autant qu'elles ont un ordre éloquent et croyable.

111. Unique est la colombe de l'Église, dit-il, …

**6,11d là, je te donnerai mes seins ;**
**12 mon âme ne comprend pas : il m'a considérée comme les chars d'Aminadab.**

114. Elle dit ensuite à l'époux : je te donnerai mes seins, ceux qui en sont encore au lait de l'enfance, pour qu'ils soient bonifiés par le vin de ton enseignement. Et en effet il en fut ainsi et ceux qu'elle a offerts se sont rapidement bonifiés ; et quand elle a voulu montrer la vitesse du changement plus aisée qu'il n'en va pour le dire : mon âme n'a pas compris, dit-elle, comment je suis devenue chars d'Aminadab, qu'on traduit par « prince de mon peuple ». Car la condition infantile passée s'est écoulée sans qu'on s'en aperçoive et je suis devenue le véhicule du prince de mon peuple, qui est le Christ ; je cours maintenant sur la voie charretière et cavalière de la piété, marquant les ornières des signes de ma bonne conduite, laissant à ceux qui parcourent l'existence les traces d'une vie appropriée à ceux qui veulent honorer Dieu.

**8,7 Ὕδωρ πολὺ οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην**
**καὶ ποταμοὶ οὐ συγκλύσουσιν αὐτήν.**
**Ἐὰν δῷ ἀνὴρ πάντα τὸν βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ,**
**ἐξουδενώσει ἐξουδενώσουσιν αὐτήν.**

134. Ἣν ἔχει ὁ κύριος πρὸς ἡμᾶς ἀγάπην, οὐδὲν αὐτὴν σβέσαι δύναται, οὐδὲ ὕδωρ πολὺ τῆς ἀντικειμένης δυνάμεως, οὐδὲ ποταμοὶ πειρασμῶν, φλεγμαίνοντι ῥείθρῳ φερόμενοι, ἀνυποίστῳ φορᾷ συγκλύζειν τὰ τῆς ἀνθρωπίνης ἀγάπης πεφυκότες ὑπεκκαύματα, σβεννύουσιν ἢ ἀμαυροῦσιν αὐτήν. Διὸ κἂν δῷ τις πάντα τὸν βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ, ἐξουδενωθήσεται, οὐδὲν τῆς τοῦ δεσπότου πρὸς ἡμᾶς ἀγάπης ἄξιον ἐπιδείξασθαι δυνάμενος· μόνου γὰρ τοῦ ἀποθανεῖν αὐτὸν ὑπὲρ ἡμῶν, ἐν πάσῃ τῇ ζωῇ συνταθεῖσα ἡ ἀνθρωπίνη σπουδή, ἐπάξιόν τι ποιῆσαι οὐκ ἂν ἰσχύσει, τὴν ἀνθρωπίνην ἀγάπην ἐξισῶσαι τῇ ἐκείνου ἀγάπῃ οὐ δυναμένη. Διὰ τοῦτο δυσέκλυτον βλέπων ὁ μέγας Δαυὶδ τῶν εὐεργεσιῶν τοῦ δεσπότου τὴν ὀφειλήν, θανάτῳ μαρτυρίου μερικῶς αὐτὴν ἀποδώσειν ἐπαγγέλλεται· πρῶτον μὲν ἀπορῶν τὸν τρόπον τῆς ἐκτίσεως διὰ τοῦ λέγειν· « τί ἀνταποδώσω τῷ κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέν μοι[a] ; » εἶτα μηδὲν ἄξιον πρὸς ἀπόδοσιν εὑρών, ὃ εὗρεν ὑπέσχετο λέγων· « ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα κυρίου ἐπικαλέσομαι[b]. » Καὶ γὰρ αὐτὸ τὸ μαρτύριον, μικρὸν πρὸς ἀμοιβὴν ἐκείνης τῆς χάριτος, αὐτῷ τῷ προληφθῆναι ἐλαττούμενον, ἶσον τῷ ἔργῳ, ἀλλὰ τῇ τάξει λειπόμενον· μᾶλλον δὲ οὐδὲ ἶσον, οὐ γὰρ ταὐτὸν οὐδὲ ὅμοιον δοῦλον ὑπὲρ δεσπότου καὶ δεσπότην ὑπὲρ δούλου ἀποθανεῖν, ὡς δυσὶ προὔχοντα τὸν τοῦ δεσπότου θάνατον πλεονεκτήμασι δυσαπόδοτον εἶναι. Κἂν γάρ τις μείζονι δωρεᾷ τὸν καταρξάμενον χάριτος ἀμείψηται, οὐδὲ φθάνει παρισωθῆναι τούτῳ, τῇ τάξει τοῦ χρόνου πλεονεκτούμενος. Τοῦτο καὶ ὁ Παῦλος θαυμάζει λέγων· « συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ θεὸς ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν[c] », καὶ τῆς ἀγάπης τοῦ θεοῦ τὸ ὑπερέχον κατὰ σύγκρισιν τῆς ἀνθρωπίνης δεικνὺς καὶ πάσης ἀμοιβῆς μείζονα τὴν ἡγησαμένην χάριν διαρρήδην ἀποφαινόμενος.

366. Ἣν ἔχει ὁ κύριος πρὸς ἡμᾶς ἀγάπην, οὐδὲν αὐτὴν σβέσαι δύναται, οὐδὲ ὕδωρ πολὺ τῆς ἀντικειμένης δυνάμεως, οὐδὲ ποταμοὶ πειρασμῶν, φλεγμαίνοντι ῥείθρῳ φερόμενοι.

Διὸ κἂν δῷ τις πάντα τὸν βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ, ἐξουδενωθήσεται, οὐδὲν τῆς τοῦ δεσπότου ~~πρὸς ἡμᾶς~~ ἀγάπης ἄξιον ἐπιδείξασθαι δυνάμενος·

**8,7 Une eau abondante ne pourra éteindre l’amour,**
**et les fleuves ne le submergeront pas ;**
**si un homme donne toute son existence pour l’amour,**
**de leur mépris, ils mépriseront l’amour.**

134. L’amour que le Seigneur éprouve à notre égard, rien ne peut l’éteindre ; pas même l’eau abondante de la puissance adverse ni les fleuves des tentations, portés par un flot gonflé, naturellement disposés par leur cours irrésistible à submerger les combustibles de l’amour humain, ne l’éteignent ni ne l’affaiblissent. Voilà pourquoi même si on donne toute son existence pour l’amour, cela comptera pour rien, si on n’est même pas capable de faire preuve d’un quelconque mouvement digne de l’amour du maître à notre égard. Car du seul fait qu’il est mort pour nous, l’ardeur humaine, même étendue à la vie entière, n’a pas la force de faire quoi qui vaille cette mort, incapable qu’elle est de rendre l’amour humain égal à son propre amour. C’est pourquoi le grand David, considérant que la dette des bienfaits du maître est difficile à solder, promet de s’en libérer partiellement par la mort du martyre. D’abord dans l’incertitude sur le moyen de s’en acquitter lorsqu’il dit : « Que rendrai-je au Seigneur en échange de tout ce qu’il m’a donné[a] ? » Puis n’ayant rien trouvé d’équivalent à rendre, il a finalement soumis ce qu’il a trouvé par ces mots : « Je prendrai la coupe du salut et j’invoquerai le nom du Seigneur[b]. » Car le martyre lui-même est peu de chose au prix de cette grâce, inférieur par le fait même d’avoir été anticipé, égal quant à l’acte, mais lui cédant par le rang ; ou plutôt pas même égal, car ce n’est pas la même chose, ni une chose semblable que le serviteur meure pour son maître et que le maître meure pour son serviteur, si bien que la mort du maître, supérieure par deux supériorités, est difficile à acquitter. Car même si on paie de retour par un don plus grand celui qui a eu l’initiative d’une grâce, on ne parviendra pas non plus à s’égaler à lui, puisqu’il l’emporte par l’antériorité. Même Paul s’en étonne lorsqu’il dit : « Dieu a fait la preuve de son amour à notre égard puisque le Christ est mort pour nous alors que nous sommes encore pécheurs[c] » ; il montre la supériorité de l’amour de Dieu sur l’amour humain et révèle que, plus grande que n’importe quelle récompense, la grâce est en propre terme prééminente.